N. 256

# ΑΚΟΛΟΥΘΙΑ ΑΣΜΑΤΙΚΗ

ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ

## ΠΕΛΑΓΙΑΣ

ΨΑΛΛΟΜΕΝΗ ΤΗι Η' ΟΚΤΩΜΒΡΙΟΥ

---

ΜΕΤΑ ΤΟΥ ΒΙΟΥ ΚΑΙ ΤΗΣ ΠΟΛΙΤΕΙΑΣ ΑΥΤΗΣ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΤΙΜΑΤΑΙ ΔΡ. 5

Saec. III. - oct. 8.
841

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ
ΕΜΜΑΝΟΥΗΛ Σ. ΠΕΤΡΑΚΗ
ΧΑΝΙΑ 1929

μένη. Χριστὸν ἐκδυσωποῦσα μὴ παύσῃ Πελαγία ὑπὲρ βροτείου γένους.

Ἀπόκρουσται τὰ βέλη τὰ τοῦ Βελίαρ πάντα, ταῖς προσευχαῖς ἀγρύπνους.

Τὴν μνήμην σου τιμῶμεν διδάγματα ἐκ ταύτης λαβεῖν τῆς μετανοίας.

Τοῦ σάλου ἐκφυγοῦσα τῆς ἁμαρτίας Μῆτερ πρὸς ὅρμον θεῖον ἥκεις.

Μαράνασα τὰ πάθη τῆς σῆς σαρκὸς ὁσία ἀγγέλων βίον ἦγες.

Ἰσότιμος ἀγγέλων γεγένησαι τρισμάκαρ τῇ πρὸς Χριστόν σου κλήσει.

Τέλος καὶ τῷ Θεῷ δόξα.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ

## ΠΕΛΑΓΙΑΣ

### ΨΑΛΛΟΜΕΝΗ ΤΗι Η΄ ΟΚΤΩΜΒΡΙΟΥ

---

Ἐν τῷ μεγάλῳ ἑσπερινῷ μετὰ τὸν προθεμιακὸν στιχολογοῦμεν τὴν α΄ στάσιν τοῦ Μακάριος ἀνήρ. Εἰς δὲ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους Ϛ΄ ψάλλοντες στιχηρὰ πρόμοια τῆς Ἁγίας γ΄ ἐκ δευτέρου.

ΗΧΟΣ Δ΄

*Ὡς γενναῖον ἐν μάρτυσιν*

Ἐγκρατείᾳ τὸ σῶμα σου Πελαγία νεκρώσασα τὴν ψυχὴν ἐζώωσας καὶ ἐκόσμησας καὶ οἰκητήριον πνεύματος σαὐτὴν ἀπετέλεσας καὶ συνήφθης μυστικῶς τῷ νυμφίῳ καὶ κτίστῃ σου, ὃν ἱκέτευε ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι τοὺς ἐν πίστει ἐκτελοῦντας τὴν ἀεισέβαστον μνήμην σου·

Τὸ ὡραῖον τοῦ σώματος εἰς τό πρῶτον ἀξίωμα Πελαγία ἔνδοξε μετερρύθμισας, οὐχὶ χρωμάτων τοῖς ἄνθεσιν, ἀρετῶν δὲ κάλλει κατεποίκιλας σαὐτήν καὶ τοῦ κτίστου γεγέννησαι καθ' ὁμοίωσιν ἐκτενῶς δυσωποῦσα ὑπὲρ πάντων τῶν ἐν πίστει

ἐκτελούντων τὴν ἀεισέβαστον μνήμην σου. Τῶν δακρύων ἀλάβαστρον, καθ' ἑκάστην προχέουσα εὐωδίας ἔπλησας τὰ οὐράνια, διὸ ὡς μῦρο πολύτιμα Χριστῷ προσηνέχθησαν, εἰς ὀσμὴν τὴν μυστικὴν τῆς αὐτοῦ ἀγαπήσεως ἐκχεύμενα, διὰ τοῦτο δυσώπει ὑπὲρ πάντων τῶν ἐν πίστει ἐκτελούντων τὴν ἀεισέβαστον μνήμην σου.

**Δόξα ὁ... αὐτοῖς**

Ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία ὑπερεπερίσσευσεν ἡ χάρις, καθὼς ὁ Ἀπόστολος διδάσκει· ἐν προσευχαῖς γὰρ καὶ δάκρυσι, Πελαγία, τῶν πολλῶν πταισμάτων τὸ πέλαγος ἐξήρανας, καὶ τὸ τέλος εὐπρόσδεκτον τῷ Κυρίῳ διὰ τῆς μετανοίας προσήγαγες· καὶ ἐν τούτῳ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν... Ὁ διὰ σὲ θεοπάτωρ**

**Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Καὶ τὰ Ἀναγνώσματα.**

**Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα**

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν· τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς κύριος ὁ Θεὸς καὶ ὁ παῖς ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητέ μοι καὶ συνῆτε, ὅτι ἐγώ εἰμι· ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται· ἐγώ εἰμι Θεὸς καὶ οὐκ ἔστιν πάρεξ ἐμοῦ ὁ σώζων, ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα· ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος· ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ἔτι ἀπ' ἀρχῆς ἐγώ εἰμι καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω· καὶ τὶς ἀποστρέψει αὐτό; οὕτω λέγει Κύριος ὁ Θεός· ὁ λυτρούμενος ὑμᾶς ὁ ἅγιος Ἰσραήλ.

**Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.**

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν



βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσιν, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας, οἱ πεποιθότες ἐπ' αὐτῷ· συνήνουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

**Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.**

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ὁ μισθὸς αὐτῶν ἐν Κυρίῳ καὶ ἡ φροντὶς αὐτῶν παρὰ ὑψίστῳ διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου. ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν· λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφθήσονται χάλαζαι· ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν· ἀκούσατε βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυνα-

στεία παρὰ Ὑψίστου:

**Εἰς τὴν λιτὴν στιχηρὰ ἰδιόμελα.**
**Ἦχος α'.**

Ἀγαλλιάσθω σήμερον ὁ οὐρανὸς ἄνωθεν, καὶ γλυκασμὸν εὐφροσύνης αἱ νεφέ αι ῥανάτωσαν. Ἰδοὺ γὰρ ὁ συνάναρχος καὶ συναΐδιος λόγος τοῦ πατρός, τὸ πλανηθὲν πρόβατον, τὴν ἔνδοξον Πελαγίαν, ταῖς τραχείαις ὁδοῖς τῆς ἁμαρτίας εὑρών, ἐπ' ὤμων ἀνέλαβε, καὶ τῷ πατρὶ προσήγαγε· καὶ συγχαρῆναι τούτῳ, τὰς νοερὰς δυνάμεις συνεκάλεσε. Συγχάρητέ μοι λέγων, ὅτι εὑρέθη τὸ ἀπολωλὸς πρόβατον· διὸ καὶ ἡμεῖς εὐφραινόμενοι, τῷ σώζοντι Χριστῷ διὰ μετανοίας ἐκβοήσωμεν· ὁ μὴ ἐλθὼν δικαίους καλέσαι, ἀλλ' ἁμαρτωλοὺς εἰς μετάνοιαν καὶ ἡμᾶς ἐπιστρέψαι ἐν μετανοίᾳ καὶ σῶσον Χριστὲ ὡς φιλάνθρωπος.

**Ὁ αὐτὸς**

Τῇ τῶν ᾀσμάτων πυριφθόγγῳ λύρα, οἱ φιλέορτοι χορεύοντες, τὴν παροῦσαν ἡμέραν φαιδρύνωμεν καὶ ἠχήσωμεν τῆς ὁσίας τὰ κατορθώματα, πρόκειται γὰρ σήμερον εἰς εὐφημίαν τοῖς πιστοῖς, ἡ ἄσπιλος αὐτὴ νύμφη τοῦ οὐρανίου νυμφίου Χριστοῦ τοῦ Θεοῦ, Πελαγία ἡ πανένδοξος, καὶ γὰρ κόσμον φυγοῦσα καὶ ἐν ἐρήμοις μονάζουσα, τὸ μὲν τοῦ σώματος κάλλος, ἀσκητικοῖς ἀγῶσι κατεμάρανε, τὴν δὲ ψυχὴν αὐτῆς τῇ τῶν ἀρετῶν εὐμορφίᾳ κατελάμπρυνε, νύμφη Χριστοῦ χρηματίσασα, καὶ παρ' αὐτοῦ αἰτεῖται τό μέγα ἔλεος τῶν ψυχῶν ἡμῶν.

**Ἦχος β'.**

Δαυϊτικῆς ὡς ἐκ λάκκου ταλαιπωρίας, καὶ ἀπὸ πηλοῦ ἴχνος τῆς ἁμαρτίας, ὁ σὸς νυμφίος Χριστὸς, Πελαγία, ἀνήγαγεν· καὶ ἔστησεν ἐπὶ πέτραν στεῤῥὰν τῆς πίστεως ἀκλόνητον, καὶ πρὸς εὐάρεστον αὐτοῦ πολιτείαν καὶ πρᾶξιν ἐναρέτου προφανῶς κατηύθυνας τὰ σὰ μῆτερ διαβήματα, καὶ ὥσπερ νύμφη αὐτοῦ,



εἰς παστάδα οὐράνιον κατεσκήνωσεν, ἔνθα ἦχος καθαρὸς φωνῆς ἑορταζόντων καὶ βοώντων ἀκαταπαύστως· Κύριε δόξα σοι:

**Ἦχος δ'.**

Ἀγάλλου τέρπου, χόρευε, μυστολέκτα Κυρίου, Νόνε σοφέ· σὺ γὰρ τὰ τῶν λόγων σου προσεφαπλώσας δίκτυα, ὡς ἐκ πυρὸς ἁλιεὺς, ἐκ βυθοῦ τῆς ἁμαρτίας τὴν πελαγίαν ἐζώγρησας, καὶ ὀψώνιον ταύτην πολυτελὲς, τῇ οὐρανίῳ προσενήνοχας τραπέζῃ· μεθ' ἧς καὶ συγχορεύων ταῖς τῶν ἀγγέλων χορείαις, μὴ παύσῃ ἱκετεύων ὑπὲρ τῶν ψυχῶν ἡμῶν:

**Δόξα .... ἦχος πλ. α'.**

Σαλπίσωμεν ἐν σαλπίγγι ᾀσμάτων, σκιρτήσωμεν ἐν πνεύματι καὶ χορεύσωμεν ὦ φιλέορτοι τῇ λαμπροφόρῳ πανηγύρει τῆς θείας νύμφης Χριστοῦ. Φιλοχρίστων τάγματα συντρεχέτωσαν καὶ τὴν διὰ Νόνου σεπτῆς μυσταγωγίας, ἐκφυγοῦσαν πέλαγος ἁμαρτίας μετανοίᾳ δὲ λαμπρυνθεῖσαν ἀνυμνείτωσαν. ποιμένες καὶ μονάζοντες τὴν τοῦ καλοῦ ποιμένος πανάμωμον ἀμνάδα ἐγκωμιάζοντες, οὕτως εἴπωμεν· ὦ μῆτερ Πελαγία, πρόφθασον ἐξελοῦ ἡμᾶς τῆς ζάλης τῶν ἐγκλημάτων, καὶ σῶσον σαῖς πρεσβείαις τοὺς δούλους Σου:

**Καὶ νῦν .... Μακαρίζομέν σε ...**

Ἀπόστιχα. **Ἦχος πλ. β'.** Αἱ ἀγγελικαὶ ......

Αἱ ἀγγελικαὶ στρατιαὶ περικυκλοῦσι, τὴν σεπτὴν σορὸν Πελαγίας τῆς ὁσίας, καὶ πάντας συγκαλοῦσι τοὺς πιστοὺς εἰς προσκύνησιν, δεῦτε οὖν, τῶν Φιλοχρίστων αἱ χορεῖαι κυκλώσωμεν αὐτὰν ἐν πίστει, βρύει γὰρ ἡμῖν, τῶν ἰαμάτων ποταμὸν καὶ χάριν τὴν ἄφθονον.

Στιχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον.

Δεῦτε οἱ πιστοὶ ἑορτάσωμεν ἐκ πόθου, μνήμην τὴν σεπτὴν Πελαγίας τῆς ὁσίας, πρὸς ταύτην ἐκβοῶντες· τῷ Κυρίῳ ἱκέτευε δωρηθῆναι ἡμῖν ὀφλημάτων καὶ ἀμπλακιμάτων τε τὴν

λύσιν, ὡς ἰσχύουσα, ἐν τῷ προσώπῳ τοῦ Θεοῦ μεγάλα, ὑπερένδοξε.

Στιχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.

Ὕψιστε Θεέ, βασιλεῦ βασιλευόντων, δέχθητι κἀμὲ ὥς ποτὲ τὴν Πελαγίαν, τυγχάνεις γάρ πάντοτε τοῖς αἰτοῦσι τὸ ἔλεος φιλοικτίρμων τε καὶ εὐεργέτης, καί καταφύγιον τῶν πενήτων, πρεσβαίαις αὐτῆς ἐκδυσωπούσης σε θερμῶς ὑπὲρ τῶν ψυχῶν ἡμῶν:

*Δόξα . . . . ἦχος πλ. δ'.*

Μετὰ τὸ ἀρνήσασασθαι σαρκὸς τὴν εὐπάθειαν, ἀνεδείχθης καθαρὸν δοχεῖον, τοῦ δι' εὐσπλαγχνίαν τοῖς ἀνθρώποις συγκαταβάντος φιλανθρώπου λόγου· ὅθεν καὶ πρὸς ζωὴν τὴν ἀγήρῳ, οἰκεῖν σε ἠξίωσεν ὡς ὑπεράγαθος· τὰ οὐράνια πάντα συγχαίρουσι, τὴν πρίν σε ἀσέμνως βιώσασαν, νῦν καθορῶντα Χριστοῦ ἄσπιλον κειμήλιον, τοῦ ἐν οὐρανοῖς ἀπὸ τῆς γῆς σὲ μεταθέντος καὶ πάντως φρουροῦντος τῇ μνήμῃ σου:

*Καὶ νῦν . . . . Δέσποινα πρόσδεξαι . . . .*

*Ἀπολυτίκιον Ἦχος πλ. δ'.*

Ἐν σοὶ μῆτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα, λαβοῦσα γὰρ τὸν σταυρὸν ἠκολούθησας τῷ Χριστῷ καὶ πράττουσα ἐδίδασκες ὑπερορᾶν μὲν σαρκός, παρέρχεται γάρ, ἐπιμελεῖσθαι δὲ ψυχῆς πράγματος ἀθανάτου. Διὸ καὶ μετὰ ἀγγέλων συναγάλλεται ὁσία Πελαγία τὸ πνεῦμα Σου.

Δόξα . . . τὸ αὐτό. Καί νῦν . . . . Ὁ δι' ἡμᾶς γεννηθείς. . .

Καὶ ἀπόλυσις:

## Ἐν τῷ ὄρθρῳ

Εἰς τὸ· Θεὸς Κύριος τὰ ἀπολυτίκια ὡς ἐν τῷ Ἑσπερινῷ. Εἶτα τὰ καθίσματα ὡς κατωτέρω.

*Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος.*

Εἰς ὄρος ἐλαιῶνος ἀνῆλθες ὁσία, καὶ τὴν σάρκα νηστείᾳ ἀ-



πενέκρωσας ὄντως, ἀπάθειαν ἐκτήσω τῇ ψυχῇ ἁγνείᾳ καὶ σεμνότητι πολλῇ, διὰ τοῦτο καὶ θαυμάσια πλεῖστα ἐπετέλεσας Μῆτερ, δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σε δοξάσαντι, δόξα τῷ ἐν σκηναῖς. Ἁγίων δοξασμένῳ· σε.

Δόξα τὸ αὐτό. Καὶ νῦν . . . τοῦ Γραβριὴλ φθεγξαμένου. . .

Ἕτερον ὁ αὐτός. Τὸν τάφον σου Σωτήρ.

Χορὸς ἀγγελικὸς κατεπλάγη ὁσία, τῆς σῆς ἀγγελικῆς πολιτείας τὸ θαῦμα, ὁρῶν τε τὴν ἄμετρον, ἐν ἀσκήσει ἐγκράτειαν πῶς ἐν σώματι ὥσπερ ἀσώματος ὄντως, εὐηρέστησας, τῷ σῷ Κυρίῳ θεόφρων Πελαγία ἰσάγγελε. Δόξα τὸ αὐτό. Καινῦν. Μητέρα σε Θεοῦ . . .

Μετὰ τὸν πολυέλεον

*Ἦχος πλ. δ'. τὴν σοφίαν καὶ λόγον . . . .*

Μετανοίας τῇ δρόσῳ τὴν τῶν παθῶν, ἀποσβέσασα φλόγα τὴν ἑαυτῆς, ζωὸν ἀνατέθεικας τῷ Θεῷ καὶ Σωτῆρι σου, διὰ τοῦτο κόσμον φυγοῦσα ἐμόνασας, καὶ ἐν ἐρήμῳ βίον ἀγγέλων εξήγωσας ὅθεν καὶ τὸ τέλος μετὰ δόξης μεγάλης, θεόθεν τιμώμενον, επεγνώσθη τοῖς πέρασι, Πελαγία ἰσάγγελε, Πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθε τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην Σου.

Δόξα τὸ αὐτὸ καὶ νῦν τὸ ἑπόμενον.

Χαῖρε θρόνε πυρίμορφε τοῦ Θεοῦ, χαῖρε κόρη, καθέδρα βασιλική, κλίνη πορφυρόστρωτε, χρυσοπόρφυρε θάλαμε, χλαμὺς ἁλουργόχροε, τιμαλφέστατον τέμενος. ἀστραπηφόρον ἅρμα, λυχνία πολύφωτε, χαῖρε Θεοτόκε, δωδεκάτριχε πόλις, καὶ πύλη χρυσήλατε καὶ παστὰς ἀγλαόμορφε. ἀγλόχριστε τράπεζα· Θεοκόσμητον σκήνωμα, χαῖρε ἔνδοξε νύμφη, ἡλιοστάλακτε· χαῖρε μόνη ψυχῆς μου εὐπρέπεια.

Οἱ ἀναβαθμοὶ καὶ α'. ἀντίφωνον τοῦ Δ'. ἤχου. Προειμ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι. Στιχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου. Πᾶσα πνοή. Εὐαγγέλιον (ὅρα Ἁγίας Αἰκατερίνης ἐν τῷ ὄρθρῳ). Δόξα . . . ταῖς τῆς ὁσίας . . . Καὶ νῦν . . . ταῖς τῆς Θεοτόκου. . . Ἐλεήμων ἐλέησόν

με . . . Δαυϊτικῶς ὡς ἐκ λάκκου . . . . ἴδε ἐν τῇ λιτῇ.

*Καταβασίαι «Ἀνοίξω τὸ στόμα μου».*

*Ὁ κανὼν τῆς Θεοτόκου, καὶ τῆς Ἁγίας οὗ ἡ ἀκροστιχὶς «Πόθῳ γεραίρω τὴν σοφὴν Πελαγίαν».*

*Ὠδὴ α΄. ἦχος δ΄. θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.*

Προθεῖσα ὡς σπουδαισίαν σήμερον, τὴν θείαν μνήμην αὐτῆς τῇ οἰκουμένῃ πάσῃ μυστικῶς, Πελαγία προτρέπεται, κατατρυφῆσαι ἅπαντας τῶν ἐδεσμάτων τῶν ἀγώνων αὐτῆς:

Ὁ πόθος ὁ ὑπὲρ πᾶσαν ἔφεσιν, ἐν τῇ ψυχῇ σου σεμνή, κατοικισθεὶς ἐκύρωσε τὸν νοῦν, καὶ τὴν φλόγα τοῦ πνεύματος ἀνάψας σε ἐφώτισε, καὶ τῶν παθῶν τὴν ὕλην ἔφλεξεν.

Θαλάσσης τῆς ἁμαρτίας κλύδωνα, ὑπεκφυγοῦσα σεμνή, τῷ γαληνῷ λιμένι τοῦ Χριστοῦ, Πελαγία προσώρμησαι· διὸ τῇ μετανοίᾳ σου ἀπεκληρώσω τὸν παράδεισον. Θεοτόκιον.

Γαλήνη τῶν ἐν τῷ βίῳ ἄχραντε χειμαζομένων βροτῶν ἀσφαλὴς καὶ ἄγκυρα στερρά, καὶ λιμὴν καὶ κυβέρνησις, αὐτὴ ὑπάρχεις πάντοτε χειραγωγοῦσα καὶ διέπουσα:

*Ὠδὴ γ΄. Εὐφραίνεται ἐπὶ σοί.*

Ἀνέπτης εἰς οὐρανοῖς; ἡ τοῦ Χριστοῦ περιστερὰ πτέρυξι τῆς ἐγκρατείας σαυτὴν καὶ πόνους πολλοῖς ἀνυψώσασα.

Ἴλυος τῆς τῶν παθῶν σὺ τὸ δυσῶδες τῷ Χριστοῦ ὕδατι, ἀποσμηχθεῖσα σεμνὴ μῦρον Πελαγία ἐδείχθεις αὐτῷ.

Ῥομφαία τῷ πονηρῷ θανατηφόρος ἀληθῶς γέγονεν, ἡ πρὸς Θεόν σου σεμνή, ἔμπυρος ἀγάπη καὶ ἔφεσις:-Θεοτοκίον.

Ὡς δρόσος ἑωθινή, ἡ εὐφροσύνη σου ἁγνὴ στάζουσα, τὴν τῶν παθῶν κάμινον, τῶν σὲ ἀνυμνούντων σβεννύει ἀεί:

*Κάθισμα ἦχος πλδ΄. τὴν σοφίαν καὶ λόγον*

Τὴν πανεύφημον νύμφην τὴν τοῦ Χριστοῦ, συνελθόντες ὑμνήσωμεν εὐσεβῶς, παθῶν γὰρ τὴν νέκρωσιν ὑποστᾶσα ἐνήθλησε, καὶ τῷ Θεῷ τῶν πάντων Δεσπότῃ προσήνεκται τὴν



ψυχὴν αὐτῆς αὐτῷ παραθέσασα. Ὅθεν ταῖς ἁγίων συμμετέχει χορείαις θεοῦ ἱκετεύουσα ὡς μεγάλου ἰσχύουσα. Πρὸς αὐτὴν ἐκβοήσωμεν. Πρέσβευε Χριστῷ τῷ θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς μετὰ πόθου καλοῦσι Σὲ Πελαγίαν ἰσάγγελον.

*Δόξα τὸ αὐτὸ..καὶ νῦν...*

Πειρασμοῖς πολυπλόκοις περιπεσών, ἐξ ἐχθρῶν ἀοράτων καὶ ὁρατῶν, τῷ σάλῳ κατέχομαι τῶν ἀμέτρων πταισμάτων μου καὶ ὡς θερμὴν ἀντίληψιν, καὶ σκέπην μου ἄχραντε, τῷ λιμένι προστρέχω τῆς σῆς ἀγαθότητος· ὅθεν παναγία τὸν ἐκ σοῦ σαρκωθέντα, ἀπαύστως, ἱκέτευε, ὑπὲρ πάντων τῶν δούλων σου, τῶν ἀπαύστως ὑμνούντων σέ, θεοτόκε πανάχραντε, πρεσβεύουσα αὐτῷ ἐκτενῶς τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς προσκυνοῦσιν ἐν πίστει τὸν πανάγιον τόκον σου.

*Ὠδὴ δ΄. Ἐπαρθέντα σε ἰδοῦσα.*

Ὡς θυμίαμα ὑπέρτιμον Πελαγία, τῆς ἐγκρατείας ἄνθραξιν ὁλοκαυτωθεῖσα εὐωδία γέγονας Χριστῷ τῷ θεῷ ἡμῶν εἰς ὀσμὴν δραμοῦσα τοῦ μύρου αὐτοῦ.

Τὴν τοῦ σώματος εὐπρέπειαν Πελαγία, τῆς ἁμαρτίας ὕλην πρώην γενομένην ὅλην μετερρύθμισας εἰς κάλλος ἀνόθευτον, οὗ ὁ σὸς νυμφίος ἠράσθη Χριστός.— Ἡ τοῦ πνεύματος ἐνσκήψασα Πελαγία, ἐν τῇ ψυχῇ σου χάρις ὡς σπινθὴρ τοῦ λόγου, τὴν φλόγα μετέωρον ἀνῆψε τῆς πίστεως καὶ τὴν ἁμαρτίαν ἐχώνευσε :— Ῥάβδος ἔφυς Θεοτόκε ἐξ ἧς τὸ ἄνθος τὸ νοητὸν ἐβλάστησεν, θείας εὐωδίας, πληρῶσαν τὰ σύμπαντα, Χριστὸς ὁ Θεὸς ἡμῶν, μῦρον ὢν ἀκένωτον τίμιον;

*Ὠδὴ Ε΄. Σὺ Κύριε μου φῶς . . .*

Νάμασι μυστικοῖς, πιανθεῖσα τοῦ πνεύματος, ἐξήνθησας ἐν τῇ πίστει, ἀρετῶν εὐφορίαν καὶ πόνοις τῆς ἀσκήσεως.

Σὺ Κύριε τὸ φῶς τῶν ἐν σκότει κειμένων βροτῶν, σύ

ἔλλαμψις ἐν καρδίᾳ τῆς ὁσίας τὴν αἴγλην τῆς θείας ἐπιγνώσεως:

Οἱ πόνοι σου σεμνὴ Πελαγία ἐν δάκρυσι, σπειρόμενοι εὐφροσύνῃ καὶ χαρᾶς ἀφθονίαν ἐν οὐρανοῖς συνήθροισαν.

Γνωστή σου ἀληθῶς ἡ χάρις ἀναδέδεικται, Πανάχραντε, παραδόξως ἐνεργοῦσα σημεῖα καὶ τέρατα ἐν πάσῃ τῇ γῇ.

***Ὠδὴ ς' Θύσω σοι μετὰ φωνῆς***

Φανείσης τῆς ἀνεσπέρου αἴγλης Χριστοῦ τοῦ Θεοῦ ἐν τῇ ψυχῇ Πελαγίας ὁ τοῦ σκότους ἄρχων ἀπεσοβήθη καὶ φκίθη ἡ τοῦ πνεύματος χάρις καὶ πίστις αὐτοῦ.

Ἡ πάλαι παγιδευθεῖσα ὑπὸ τοῦ ὄφεως, παγὶς αὐτῷ ἀνεδείχθη, τὴν αὐτοῦ συνέχουσα δυναστείαν καὶ πατοῦσα τὴν αὐτοῦ πανουργίαν δυνάμει Θεοῦ :

Νυμφίον τὸν Κύριον καὶ Θεὸν ἀγαπήσασα, ταῖς ἀρεταῖς κοσμηθεῖσα καὶ πεποικιλμένη πόνους ἐνθέους τοῦ νυμφῶνος αὐτοῦ Πελαγία ἠξίωσαι :

Θεοτοκίον. Ἰδεῖν σου Θεοτόκε τὴν δόξαν τὴν ἄφραστον πάλαι ὠδίνησας θείως οἱ Προφῆται πάντες, ἀλλ' ἐπ' ἐσχάτων ἡμῖν ὤφθη, τοῖς ποθοῦσι σε κόρη πανάμωμε.

***Κοντάκιον ἦχος β' Τὰ ἄνω ζητῶν...***

Τὸ σῶμα τὸ σόν, νηστείαις καταλήξασα, ἀγρύπνους εὐχαῖς, τὸν κτίστην καθικέτευσας τοῦ λαβεῖν τῶν πράξεων τὴν τελείαν συγχώρησιν καὶ ἐδέξω, ὁσία, σαφῶς ὁδὸν μετανοίας ὑποδείξασα.

***Ὁ οἶκος***

Ὅσοι ἐν βίῳ ἐν ἁμαρτίαις ἐμολύνθητε, ὡς ὁ τάλας ἐγώ. Ζηλώσωμεν τὴν μετάνοιαν, τόν ὀδυρμόν τε μετὰ δακρύων, τῆς ὁσίας μητρὸς ἡμῶν Πελαγίας, ἵνα ταχὺ ἐκ Θεοῦ τὴν συγχώρησιν λάβωμεν, καθάπερ ἡ Μαρία ἔτι ζῶσα τὸν ρύπον ἀπέπλυνε τῆς ἁμαρτίας καὶ ἔλαβεν ἐκ Θεοῦ τὴν τελείαν συγχώρησιν, ὁδὸν μετανοίας ὑποδείξασα.



Τῇ Η' τοῦ μηνὸς Ὀκτωβρίου Μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν Πελαγίας. Στιχ. Αἴσχους λυθεῖσα καὶ λυποῦσα τὸν σάλον πρὸς ὅρμον ἥκεις οὐρανοῦ Πελαγία.

Ὀγδοτάτῃ ὑπέληξε βίου πέλαγος Πελαγία.

Αὕτη ἡ ὁσία καὶ μήτηρ ἡμῶν Πελαγία κατήγετο ἐξ ἐθνικῶν ἀλλ' εὐπόρων γονέων καὶ ἔζη ἐν Ἀντιοχείᾳ περὶ τὸ 284 μ. Χ. Ἐκ νεαρᾶς ἡλικίας ὀλισθήσασα εἰς τὴν ἀκολασίαν ἔζη διὰ τοῦ ἐμπορίου τῆς σαρκὸς αὐτῆς. Ὁ πανάγαθος ὅμως Θεὸς ὁ μὴ ἐλθὼν δικαίους καλέσαι ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν οὐκ ἐβδελύξατο ἀλλ' ηὐδόκησε μετανοῆσαι αὐτὴν καὶ ἰδοὺ τίνι τρόπῳ. Ὁ τότε Πατριάρχης Ἀντιοχείας συνεκάλεσε τοὺς ἐπισκόπους τῆς περιοχῆς του εἰς τὴν Ἀντιόχειαν. Μεταξὺ τούτων διεκρίνετο ὁ Νόνος, περίφημος διὰ τὴν εὐσέβειαν καὶ τὴν πεῖραν του περὶ τόν θεῖον λόγον. Ὅτε δὲ ποτὲ ἔτυχε νὰ ἱερουργῇ οὗτος ἐν τῷ ναῷ τοῦ Ἁγίου Ἰουλιανοῦ διῆλθεν ἡ Πελαγία ἐφ' ἁμάξης καὶ εὐθὺς ὁ ἀὴρ ἐπληρώθη εὐωδίας ἐκ τῶν ἀρωμάτων δι' ὧν αὕτη ηὔξανε τὴν φυσικὴν αὐτῆς ὡραιότητα. Ἡ τυχαία αὕτη διάβασις τῆς Πελαγίας ὡς ὀξύτατον βέλος ἔτρωσεν τὴν καρδίαν τοῦ Νόνου. Μετὰ ταῦτα δὲ ἐλθὼν ὁ θεῖος οὗτος ἀνὴρ προσηυχήθη τῷ Θεῷ τοιάδε: «Ὕψιστε Θεέ, συγχώρησόν με τῷ ἀμελεῖ, ὅτι μιᾶς ὥρας ἐπιμέλειαν οὐκ ἐπεδειξάμην καὶ ὅτι οὐκ εἰμὶ ἱκανὸς ἐπιστρέψαι τῇ ἀληθείᾳ σου τὴν Πελαγίαν». Κατ' ἐκείνην δὲ τὴν νύκτα ὁ Νόνος εἶδε καθ' ὕπνον τὸ ὄνειρον τοῦτο: Τῷ ἐφάνη ὅτι ἐλειτούργει ἐν τῷ ναῷ καὶ μία περιστερὰ δυσώδης καὶ βεβορβορωμένη ἵπτατο πέριξ αὐτοῦ καὶ τῷ παρεῖχεν μεγάλην ἐνόχλησιν ἕνεκα τῆς δυσωδίας αὐτῆς. Ὅτε δὲ εἶπεν «ὅσοι κατηχούμενοι προέλθετε» ἐξῆλθε τοῦ ναοῦ καὶ ἔμεινε μέχρι τέλους τῆς λειτουργίας. Ὅτε δὲ ὁ Νόνος ἐξῆλθε τοῦ Ἁγίου Βήματος εἶδε καὶ πάλιν αὐτὴν ἱπταμένην πέριξ αὐτοῦ. Τότε συνέλαβε αὐτὴν τὴν ἔλουσεν ἐν τῷ νιπτῆρι καὶ ἐκαθαρίσθη. Μετὰ τοῦτο ἤρθη τοσοῦτον ὥστε κατέστη ἀόρατος. Τοῦτο ἦτο προτύπωσις τῶν μελλόντων γενέσθαι τὴν ἑπομένην, καθ' ἣν ἀφηγήθη τὸ ὅραμα εἰς τὸν πιστὸν αὐτοῦ Ἱεροδιάκονον Ἰάκωβον. Μετὰ ταῦτα μετέβη εἰς

τὸν ναόν, ὁ δὲ Πατριάρχης ἔδωκεν εἰς αὐτὸν τὸν λόγον τοῦ κηρύγματος. Κατὰ θεῖαν δέ σύμπτωσιν μετέβη εἰς τὸν Ναὸν καὶ ἡ Πελαγία ἡ ὁποία κατανυχθεῖσα ἐκ τῆς διδαχῆς τοῦ Νόνου ὢ ! τοῦ θαύματος ! μετενόησεν. Εἶτα ἀπέστειλεν αὐτῷ ἐπιστολήν, δι' ἧς ἐζήτει τὴν συγχώρησιν τῶν ἁμαρτιῶν αὐτῆς. Ὁ δὲ Νόνος τῇ ἀπήντησε νὰ μεταβῇ εἰς τὸν Ναὸν καὶ νὰ ζητήσῃ παρρησίᾳ συγγνώμην. Ἡ Πελαγία συνεμορφώθη τῇ προτροπῇ τοῦ Νόνου καὶ τὴν ἐπομένην ἐλθοῦσα ἐν τῷ ναῷ μετὰ κλαυθμῶν καὶ δακρύων ἐζήτησε τὴν συγχώρησιν. Μετὰ ταῦτα ἐβαπτίσθη εἰς τὸ ὄνομα τῆς Ἁγίας Τριάδος, ἐκοινώνησε τῶν Ἀχράντων Μυστηρίων καὶ διένειμε τὴν περιουσίαν αὐτῆς τοῖς πένησιν. Εἶτα ἐνεδύθη ἓν τρίχινον ράσον καὶ ἐλθοῦσα ἐμόναζεν εἰς τὸ ὄρος τῶν Ἐλαιῶν. Ἐμόναζεν δὲ ἡ ὁσία ἐν ἀνδρικῷ σχήματι ὑπ' οὐδενὸς γινωσκομένη ὡς γυνή.

Μετὰ τρία ἔτη ὁ Ἱεροδιάκονος Ἰάκωβος ἦλθεν εἰς Ἱεροσόλυμα πρὸς προσκύνησιν τῆς Ἁγίας γῆς. Ἤκουσε δὲ περὶ ἐναρέτου τινὸς μοναχοῦ Πελαγίου ὀνόματι ὅστις ἐμόναζεν εἰς τὸ ὄρος τῶν Ἐλαιῶν. Εὑρὼν δέ αὐτὸν ἐδιδάχθη ὑπ' αὐτοῦ πολλὰ καὶ ψυχωφελῆ διδάγματα. Δὲν ἀνεγνώρισεν ὅτι ἦτο ἡ Πελαγία διότι ἐκ τῆς μεγάλης ἀσκήσεως εἶχε καταντήσει πτῶμα. Ὀλίγας δὲ ἡμέρας μετὰ τὴν ἀναχώρησιν τοῦ Ἰακώβου ἀπεβίωσεν ἡ ὁσία καὶ πλῆθος Χριστιανῶν ἐκήδευσεν τὸ σεπτὸν αὐτῆς λήψανον. Ὅτε δὲ ἠθέλησαν νὰ ἀλείψωσιν αὐτὴν Ἁγίῳ Μύρῳ ἀνεγνώρισαν ὅτι ἦτο γυνή. Καὶ οὕτως ἀνεπαύσατο ἡ ὁσία καὶ Μήτηρ ἡμῶν Πελαγία Θεαρέστως ἐν Κυρίῳ.

Ταῖς τῆς σῆς ὁσίας πρεσβείαις ὁ Θεὸς ἐλέησον ἡμᾶς. Ἀμήν.

***Ὠδὴ ζ'. Ἐν τῇ καμίνῳ***

Πέλαγος θείων κατορθωμάτων ὤφθης ὡς ἀληθῶς, ὅλην τοῦ ἐχθροῦ βυθίσασα ἐν αὐτῷ τὴν ἰσχύν· διὸ ἀνέμελπες· εὐλογημένος εἶ ἐν τῷ Ναῷ τῆς δόξης σου Κύριε.

Ἐν τῇ καμίνῳ τῆς ἐγκρατείας σῶμα καὶ τὴν ψυχὴν θεῖον ὡς χρυσὸν ἐχώνευσας καθαρόν καὶ τὸ πρῶτον κάλλος ἔδειξας,



εὐριζωθὲν σεμνή, Πελαγία τῇ κρα ἀκλήσει σου.

Λουτρῷ τῷ θείῳ ἐνδυσαμένη σὺ ἀληθῶς ὅνπερ παλαιὸν ἐκδέδυσαι τῶν παθῶν, καὶ φθειρόμενόν σου ἄνθρωπον τὸν νέον ἄνθρωπον ἠμφιάσω Χριστὸν συμμορφούμενον. Θεοτοκίον

Ὁ ἐν τῷ θρόνῳ τῷ πατρικῷ ὀχούμενος λόγος Θεοῦ, ξένης ἐπὶ σοὶ ἐσκήνωσε καὶ φρικτῶς Θεοτόκε καὶ ἀνέπλασεν ἡμῶν τὸ φύραμα ἐν αὐτῷ ἀνυψώσας ὡς εὔσπλαγχνος.

***Ὠδὴ η' Χεῖρας ἐκπετάσας***

Λάμπουσιν ἀκτῖνες φαειναί, τῶν θαυμασίων σου, καθάπερ ἥλιος καὶ τὴν τοῦ βίου σου ἅπασαν, ὑπεμφραίνουσα λαμπρότητα καὶ τὴν ἀστράψασαν ἐν σοὶ τῆς θείας πίστεως ἐκβοῶσι, πάσῃ τῇ κτίσει αὐγὴν Πελαγία σεμνή.

Ἄλυτον δεσμὸν τὸν εἰς Χριστόν, πιστῶς συνδήσασα, προσεκολλήθης αὐτῷ καὶ ἀδιαπαύστως ἔμεινας τῇ ἑνώσει τῆς ἀγάπης αὐτοῦ, συναρμοσθεῖσα νοητῶς σεμνὴ τῇ πίστει αὐτοῦ, Πελαγία ἀδιαιρέτως αὐτῷ διαμείνασα.

Γνῶσιν δεξαμένη ἀληθῆ, ἐν τῇ καρδίᾳ σου διὰ τοῦ πνεύματος σαφῶς κατέλιπες ἅπασαν τὴν τοῦ βίου ματαιότητα, διὸ κατέπληξας βροτοὺς ἐν τῇ ἀθρόᾳ σεμνὴ μεταθέσει καὶ οὐρανοὺς εὐφροσύνης ἐπλήρωσας. Θεοτοκίον:

Ὑμνοῦσι πανάχραντε ἁγνὴ τὰ μεγαλεῖα σου αἱ νοεραὶ στρατιαί, ἀνακηρύττουσιν ἅπαντες, Πατριάρχαι καὶ προφῆται τρανῶς, σὺν Ἀποστόλοις ἱερεῖς καὶ τῶν μαρτύρων οἱ χοροί, καὶ ὁσίων ἅπαν τὸ πλῆθος, μεθ' ὧν προσκυνοῦμεν σε.

***Ὠδὴ θ' Λίθος ἀχειρότμητος***

Ἰδεῖν ἐπεθύμησας ὄντως τοῦ ἐραστοῦ Χριστοῦ τὸ κάλλος, δι' ὃν ἐσταυρώθης τῷ κόσμῳ καὶ τὸ ὡραῖον ἄνθος τοῦ σώματος ὁσία κατελάμπρυνας, καὶ τὴν τοῦ βίου ἐβδελύξω στοργήν.

Ἅπαν τὸ τοῦ σώματος κάλλος, ἀποθεμένη Πελαγία, δι' ἐγκρατείας καὶ πόνων πρὸς οὐρανίους σκηνὰς ἀνέδραμες, ἐν αἷς τοῦ ποθουμένου σου ἐπαπολαύεις κάλλους ἔνδοξε.

Νῦν τοὺς σέ τιμῶντας ἐκ πόθου πάντας ὁσία ἐποπτεύεις καὶ τοὺς τὴν ἐτήσιον ταύτην ἐπιτελοῦντας σου μνήμην, πρέσβευε τῷ ποιητῇ καὶ κτίστῃ σου ἵνα μετάσχωμεν τῆς δόξης αὐτοῦ. Θεοτοκίον. Ὑμνῶ σου τὸν τόκον παρθένε καὶ μεγαλύνω σου τὴν χάριν· σὺ γὰρ φωτισμὸς τῆς ψυχῆς μου ὑπάρχεις οὕτως καὶ ἡ παράκλησις ἡ ταχινὴ βοήθεια καὶ σωτηρία καὶ ἀντίληψις. Ἐξαποστειλάριον Τοῖς μαθηταῖς.

Ὑπογραμμὸς ὁ βίος σου, μοναζόντων ἐδείχθη, καὶ ἀκριβῶς ἀνόρθωσις, τῶν δεινῶς πεπτωκότων, ἀοίδιμε Πελαγία· τῶν παθῶν γὰρ τὴν νύκτα, φυγοῦσα προσεπέλασας τῷ ἡλίῳ τῆς δόξης, Χριστῷ σεμνή, σκητῶν ἐκλάμψασα ὁμήγυρει, μεθ' ὧν σου τὴν ὑπέρλαμπρον ἑορτάζομεν μνήμην:

*Θεοτόκιον.*

Χαρμονικῶς τὸ χαῖρε σοι σεπτοῦ Ἀρχαγγέλου, οἱ λυτρωθέντες πάναγνε, τῆς ἀρχαίας κατάρας, διὰ τοῦ θείου σου τόκου εὐχαρίστως βοῶμεν, χαῖρε, Ἀδὰμ ἡ λύτρωσις, χαῖρε Εὔας ἡ λύσις, χαῖρε δι' ἧς, ἅπαν ἡμῶν βρότειον ἐθεώθη, χαῖρε δι' ἧς ἐτύχομεν οὐρανῶν βασιλείας.

*Εἰς τοὺς Αἴνους*

*Ἦχος α΄ Τῶν οὐρανίων ταγμάτων*

Τὴν τοῦ Χριστοῦ θείαν νύμφην παραγενόμενοι τῷ ἑαυτῆς τεμένει, ἀνυμνήσωμεν πάντες, βοῶντες αὐτῇ. Χαῖρε ὅτι Χριστῷ τῷ Θεῷ σοι συνήνωσαι, καὶ νῦν πρεσβεύεις ἀπαύστως ὑπὲρ ἡμῶν Πελαγία ὑπερένδοξε. Δὶς

Νῦν ἡ σεβάσμιος μνήμη παν γυρίζεται ταῖς τῶν ἑορταζόντων φιλεόρτοις χορείαις, Σοῦ τῆς ὁσίας Μῆτερ, διὸ καὶ ἡμεῖς τῷ σὲ δοξάσαντι εἴπωμεν, ταῖς τῆς ὁσίας σου, Σῶτερ θερμαῖς εὐχαῖς ἐξ ἀνάγκης ἡμᾶς λύτρωσον.

Εὐφραίνου, τέρπου, ἀγάλλου, Νόνε σοφὲ ἐν Χριστῷ, σὺ γὰρ τῇ κτίστῃ ὄντως καὶ σωτῆρι τῶν ὅλων, πολύτιμον ὡς δῶρον ταῖς σαῖς εὐχαῖς καὶ σεπταῖς παραινέσεσιν τὴν Πελαγίον προσήνεγκας μεθ' ἧς νῦν σὺν ἀγγέλοις συναγάλλεσθε.



*Δόξα... ὁ αὐτὸς*

Οὐκ ἔστιν ἡ βασιλεία τοῦ Θεοῦ βρῶσις καὶ πόσις, ἀλλὰ δικαιοσύνη καὶ ἄσκησις σὺν ἁγιασμῷ, ὅθεν οὐδὲ πλούσιοι εἰσελεύσονται ἐν αὐτῇ. Ἀλλ' ὅσοι τοὺς θησαυροὺς αὐτῶν ἐν χερσὶ πενήτων ἀποτίθενται, ταῦτα καὶ Δαυῒδ ὁ προφήτης διδάσκει λέγων· δίκαιος ἀνὴρ ὁ ἐλεῶν ὅλην τὴν ἡμέραν ὁ κατατρυφῶν τῷ Κυρίῳ καὶ τῷ φωτὶ περιπατῶν ὃ οὐ μὴ προσκόψῃ ταῦτα δὲ πάντα πρὸς νουθεσίαν ἡμῶν γέγραπται, ὅπως νηστεύσαντες χρηστότητα ποιήσωμεν καὶ διότι ἡμῖν Κύριος ἀντὶ τῶν ἐπιγείων τὰ ἐπουράνια.

*Καὶ νῦν...*

Τῇ πρεσβείᾳ Κύριε πάντων τῶν Ἁγίων καὶ τῆς Θεοτόκου τὴν σὴν εἰρήνην δὸς ἡμῖν καὶ ἐλέησον ἡμᾶς ὡς μόνος οἰκτίρμων.

*Δοξολογία μεγάλη καὶ ἀπόλυσις*

*Ἐν τῇ λειτουργίᾳ*

Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς ὁσίας Μαρίας τῆς Αἰγυπτίας. Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

*Μεγαλυνάρια*

*ἀντὶ τοῦ Κοινωνικοῦ ψαλλόμενα. Ἦχος Γ΄*

*Αἱ γενεαὶ πᾶσαι.*

Πακαρίζομέν σε Χριστοῦ τὴν θείαν νύμφην, ὁσία Πελαγία. Πᾶν τῶν πιστῶν τὸ πλῆθος τιμῶμεν σου τὸν τρόπον τῆς μετανοίας Μῆτερ :

Ἐν σοὶ ἐνεχαράχθη Χριστοῦ ὁ θεῖος λόγος ὁ περὶ μετανοίας.

Εἰς ὄρος ἀνελθοῦσα ἐμόναζες παμμάκαρ ἀεὶ προσευχο-

ΝΑΥΠΛΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ